373

Μιχαήλῳ τῷ Σχινᾷ ἡ. ὁ Μακρός χάρειν

Διογένης, φασὶν οἱ κυνικοί, ἐλέας ἀριστήσας, ἐπειδὴ τὴν πλακοῦν αὐτῷ εἰσηνέχθη, παρωσάμενος ἐπεὶ πρῶτα τὸ τοῦ ποιητοῦ μάθημα ἔλεγεν ὁ ἐλέας. Ἀξιόν γε τοῦτο παρῴδησε Διογένης, ἀγροικον ἔπραξεν φόγον καὶ κορυδῷ κυνικόν· εἶχε γὰρ ἄν, εἰ πλέον, ἐχάρη τῷ πλακοῦντι, παροψήματι γοῦν καὶ τράγημα χρήσεται καὶ τοῖς ἐλαίαις. Ἐγὼ δὲ, φίλος, ὃ μοι πέπομφας ὅλον ἄγρος ἐλαιῶν ἐδεξάμην εὐφρόνως, οὐ μόνον ὅτι τὴν χαρὰν ἡδέως ἐδέξω, φίλον ὄν τε καὶ πάσι καὶ ὄψον ἐπ' ἄρτῳ καὶ ἐπ' ὄψῳ γινόμενον παροψύνομαι, ἀλλ' ὅτι καὶ ἐκ Μεσσηνίας χώρας οἷας τε πάντα καλὰ φέρειν· καὶ τὸ δὴ μέγιστον, ὅτι παρὰ σοῦ μοι τὸ δῶρον, τῆς φίλης κεφαλῆς· δῶρον δὲ φίλῳ παρὰ φίλου προσιὸν ἐκ μὲν σμικροῦ καὶ φαύλου μέγιστον γίγνεται καὶ κάλλιστον, ἐκ δὲ καλοῦ κάλλιστον. Βουλοίμην δ' ἂν ὑμῶν προσδοῦναι τῷ λόγῳ, ὅτι καὶ πρέπον ἅμα τὸ δῶρα σοί τε δοῦναι καὶ παρὰ σοῦ λαβεῖν. Σύ τε γὰρ, οἷον τὸ τῆς Παλλάδος ἱερὸν ἔρνος, ἀρετῇ κατάκαρπος τὴν ἐλιάδα καταγλαΐζεις, ἐγὼ δὲ δίκαιος τοῖς σοῖς πλουσιωτάτοις ἐντρυφῶν, ἐρασὴς ὢν τῶν καλῶν, καὶ τοῦδε ἀφ' ὧν τι δρεψάσθαι χρήσιμος ἂν ἐξίη. Ἐλαίας δὲ τρώγειν καὶ ἄλλως παλαιὸς νόμος τοῖς ἱερεῦσιν, εἴ τε τὴν σπάρασιν λέγοις, τὸ λιτὸν περὶ τὴν δίαιταν ἀσκουμένοις, εἴ τε τὴν σωφροσύνην ἐκ μιᾶς τῆς ἐλαίας εἶναι σύμβολον, καὶ ἧς ἄνευ οὐδ' ὅπως ἱερεῦσιν, ἀλλ' οὐδὲ τῶν ἄλλων οὐδένων ἂν γένοιτο πώποτε χρήσιμος εἶναι καὶ εὐφρείμους οὔτε σφίσιν αὐτοῖς οὔτε τῇ πόλει. Κἀγὼ τοίνυν ἐλαίας, σοῦ μὲν πέμποντος, εὐδίου, ἡδίστης τε ἅμα καὶ πρέποντος ἂν εὐδίοις, καὶ σοῦ φίλου, δάμοις ἅπασι βρυθόμενος ἀγαθοῖς, ὡς ἀγλαόκαρπος ἐλαία, κοινὸν ἄθλοις καὶ καλὸν στέφανον γιγνόμενος τῇ πατρίδι. ἐρρῶσο.

ιδ΄ Ἰανουαρίου ἀ ωλε΄.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens